8.

# ΠΕΡΙ ΤΥΧΗΣ C

(Plan. 18)

**1.** ‘*Τύχη τὰ θνητῶν πράγματ’, οὐκ εὐβουλία*’ (Tr. fr. p. 782). *πότερον οὐδὲ δικαιοσύνη τὰ θνητῶν πράγματα οὐδὲ ἰσότης οὐδὲ σωφροσύνη οὐδὲ κοσμιότης, ἀλλ’ ἐκ τύχης μὲν καὶ διὰ τύχην Ἀριστείδης ἐνεκαρτέρησε τῇ πενίᾳ, πολλῶν χρημάτων κύριος γενέσθαι δυνάμενος, καὶ Σκιπίων Καρχηδόνα ἑλὼν οὐδὲν οὔτε ἔλαβεν οὔτε εἶδε τῶν λαφύρων, ἐκ τύχης δὲ καὶ διὰ τύχην Φιλοκράτης λαβὼν χρυσίον παρὰ Φιλίππου πόρνας καὶ ἰχθῦς ἠγόραζε, καὶ Λασθένης καὶ Εὐθυκράτης ἀπώλεσαν Ὄλυνθον, ‘τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν;’* D *ἀπὸ τύχης δ’ ὁ μὲν Φιλίππου Ἀλέξανδρος αὐτός τε τῶν αἰχμαλώτων ἀπείχετο γυναικῶν καὶ τοὺς ὑβρίζοντας ἐκόλαζεν, ὁ δὲ Πριάμου δαίμονι κακῷ καὶ τύχῃ χρησάμενος*